210. Οἶδα δ᾽ ἐπηλυσίης] Hunc versum ubi primum vidi, nullo negotio similem & verbis & sententia restitui, Hymn. in Mercur. 37. Ἦ γὰρ ἐπηλυσίης πολυπήμονος ἔσσεαι αἰχμά. sive, ut in Cod. Moscov. αἶχμα. Repone: Ἦ γὰρ ἐπηλυσίης πολυπήμονος ἔσσεαι ἔχμα. Ἔχμα idem est, quod ἐρυσμός. Sic Apollon. Rhod.

 IV.

Ὣς ἄρα φωνήσασα, θυώδεϊ δέξατο κόλπῳ,
Χερσίν τ' ἀθανάτῃσι. γεγήθει δὲ φρένα μήτηρ.
Ὣς ἡ μὲν Κελεοῖο δαΐφρονος ἀγλαὸν υἱὸν,
Δημοφόωνθ', ὃν ἔτικτεν ἐΰζωνος Μετάνειρα,
Ἔτρεφεν ἐν μεγάροις. ὁ δ' ἀέξετο δαίμονι ἶσος,
Οὔτ' οὖν σῖτον ἔδων, οὐ θησάμενος. Δημήτηρ
Χρίεσκ' ἀμβροσίῃ, ὡσεὶ θεοῦ ἐκγεγαῶτα,
Ἡδὺ καταπνείουσα, καὶ ἐν κόλποισιν ἔχουσα.

Νύκ-

IV. 201. scuta vocat δηΐων θοὸν ἔχμα βελάων. ubi vide Scholiast. Quo autem errore librarius αἶχμα pro ἔχμα, eodem Hesychius scripsit: Αἴχματα. κωλύματα. ut viri docti viderunt. Ἐρυσμὸς, forma tantum discrepans ab ἔρυμα, in Lexicis desideratur.

211. Θυώδεϊ δέξατο κόλπῳ] Il. Z. 483. ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ.

214. Δημοφόωνθ'] Δημοφῶν Celei filius etiam dicitur ab Apollodoro I. 5. p. 14. in libris scriptis, quos Th. Galeus vidit. Vulgati male habent Δηϊφῶν. Ovidius & alii idem de Triptolemo narrant.

216. Δημήτηρ χρίεσκ' ἀμβροσίῃ] Cum toto hoc loco comparandus est Apollonius Rhod. IV. 869. idem de Thetide & Achille narrans, quod Homerus de Cerere & Demophonte: Ἡ μὲν γὰρ βροτέας αἰεὶ περὶ σάρκας ἔδαιεν Νύκτα διὰ μέσσην φλογμῷ πυρός· ἦματα δ' αὖτε Ἀμβροσίῃ χρίεσκε τέρεν δέμας, ὄφρα πέλοιτο Ἀθάνατος, καὶ οἱ στυγερὸν χροῒ γῆρας ἀλάλκοι. Αὐτὰρ ὅ γ' ἐξ εὐνῆς ἀναπάλμενος εἰσενόησε Παῖδα φίλον σπαίροντα διὰ φλογός· ἧκε δ' ἀϋτὴν Σμερδαλέην ἐσιδὼν, μέγα νήπιος. ἡ δ' ἀΐουσα Τὸν μὲν ἄρ' ἁρπάγδην χαμάδις βάλε κεκληγῶτα. &c.

218. Ἡδὺ καταπνείουσα] Id est, divinum ei vigorem

Νύκτας δὲ κρύπτεσκε πυρὸς μένει, ἠΰτε δαλὸν,
Λάθρα φίλων γονέων. τοῖς δὲ μέγα θαῦμ' ἐτέτυκτο,
Ὡς προθαλὴς τελέθεσκε, θεοῖσι δὲ ἄντα ἐῴκει.
Καί κεν μιν ποίησεν ἀγήρων τ' ἀθάνατόν τε,
Εἰ μὴ ἄρ' ἀφραδίῃσιν ἐΰζωνος Μετάνειρα,
Νύκτ' ἐπιτηρήσασα, θυώδεος ἐκ θαλάμοιο
Σκέψατο, κώκυσεν δὲ, καὶ ἄμφω πλήξατο μηρὼ,
Δείσασ' ᾧ περὶ παιδὶ, καὶ ἀάσθη μέγα θυμῷ,

Καὶ

rem afflabat. Ovid. Faſt. IV. 540. *Jungere dignata eſt os puerile ſuo. Pallor abit, ſubitaeque vigent in corpore vires. Tantus coeleſti venit ab ore vigor.* Claudianus de Laude Seren. 86. *Nec tua mortalis meruit cunabula nutrix. Ubera prima dabant gremiis redolentibus Horae, Ternaque te nudis innectens Gratia membris Afflavit.*

219. Νύκτας δὲ κρύπτεσκε] Ovidius Faſt. IV. 553. *Inque foco pueri corpus vivente favilla Obruit, humanum purget ut ignis onus.* ubi non imiter Burmannum, ex uno Cod. *opus* praeferentem. *Onus* eſt, quicquid terrenum & mortale eſt in homine, quicquid, ut Virgilii verbis utar Aen. VI. 730. igneum coeleſtemque vigorem hebetat & tardat. Philoſophi Platonici ὄγκον & ὄχλον dicunt. Vide, quae diſcipulorum meorum optimus, Daniel Wyttenbachius ad Plutarch. de S. N. V. p. 34. diſputavit.

221. Θεοῖσι δὲ ἄντα ἐῴκει] Idem hemiſtichium Il. Ω. 630.

222. Καί κεν μιν ποίησε] Od. Ε. 136. ἠδὲ ἔφασκον Θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα. Pro ποίησεν MS. ποίησα.

225. Καὶ ἄμφω πλήξατο μηρὼ]

Καὶ ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα·
Τέκνον Δημοφόων, ξείνη σε πυρὶ ἐνὶ πολλῷ
Κρύπτει, ἐμοὶ δὲ γόον καὶ κήδεα λυγρὰ τίθησιν.
Ὣς φάτ' ὀδυρομένη. τῆς δ' ἄϊε δῖα θεάων.
Τῇ δὲ χολωσαμένη καλλιστέφανος Δημήτηρ,
Παῖδα φίλον, τὸν ἄελπτον ἐνὶ μεγάροισιν ἔτικτε,
Χείρεσσ' ἀθανάτῃσι ἀπὸ ἕο θῆκε πέδονδε,
Ἐξανελοῦσα πυρὸς, θυμῷ κοτέσασα μάλ' αἰνῶς,
Καί ῥ' ἄμυδις προσέειπεν ἐΰζωνον Μετάνειραν·
Νήϊδες ἄνθρωποι καὶ ἀφράδμονες, οὔτ' ἀγαθοῖο
Αἶσαν ἐπερχομένου προγνώμενοι, οὔτε κακοῖο.

Καὶ

ρῶ] Il. M. 162. Δή ῥα τότ' ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρώ.

233. Ἀπὸ ἕο θῆκε πέδονδε] Il. M. 205. ὁ δ' ἀπὸ ἕθεν ἧκε χαμᾶζε. Od. I. 461. τὸν κριὸν ἀπὸ ἕο πέμπε θύραζε. MS. habet, ἄπω ἕο.

234. Ἐξανελοῦσα πυρὸς] Apollodorus I. 5. p. 15. in ceteris fere consentiens Homero, Demophontem igni consumtum tradit.

236. Νήϊδες ἄνθρωποι] Hunc locum manifesta imitatione expressit Pseudo-Orpheus Fragm. p. 394. ed. Gesn. Θῆρές τ' οἰωνοί τε, βροτῶν δ' ἀλιτήρια φῦλα, Ἄχθεα γῆς, εἴδωλα τετυγμένα, μηδαμὰ μηδὲν Εἰδότες, οὔτε κακοῖο προσερχομένοιο νοῆσαι Φράδμονες, οὔτ' ἄποθε μάλ' ἀποστρέψαι κακότητος, Οὔτ' ἀγαθοῦ παρεόντος ἐπιστρέψαι τε καὶ ἕρξαι Ἴδριες, ἀλλὰ μάτην ἀδαήμονες, ἀπρονόητοι.

Καὶ σὺ γὰρ ἀφραδίῃσι τεῆς μήκιστον ἀάσθης.
Ἴστω γὰρ, θεῶν ὅρκος, ἀμείλικτον Στυγὸς ὕδωρ,
Ἀθάνατόν κέν τοι καὶ ἀγήραον ἤματα πάντα
Παῖδα φίλον ποίησα, καὶ ἄφθιτον ὤπασα τιμήν.
Νῦν δ' οὐκ ἔσθ' ὥς κεν θάνατον καὶ κῆρας ἀλύξῃ.
Τιμὴ δ' ἄφθιτος αἰὲν ἐπέσσεται, οὕνεκα γούνων
Ἡμετέρων ἐπέβη, καὶ ἐν ἀγκοίνῃσιν ἴαυσεν.
Ὥρῃσιν δ' ἄρα τῷ γε, περιπλομένων ἐνιαυτῶν,
Παῖδες Ἐλευσινίων πόλεμον καὶ φύλοπιν αἰνὴν
Αἰὲν ἐν ἀλλήλοισι συναυξήσουσ' ἤματα πάντα.

Εἰμὶ

241. Ποιήσα] MS. ποιήσασα.

242. Νῦν δ' οὐκ ἔσθ'] Leviter mutavi scripturam Codicis, quae haec est: Νῦν δ' οὐκ ἔθ' ὥς κεν θάνατον καὶ κῆρας ἀλύξαι. Il. Φ. 565. Οὐκ ἔτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι.

243. Ἄφθιτος] MS. ἄφθιτον.

244. Καὶ ἐν ἀγκοίνῃσιν ἴαυσεν] Il. Ξ. 213. Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.

247. Αἰὲν ἐν ἀλλήλοισι συναυξήσουσ'] Metri ratio postulat, ut legatur: Αἰὲν ἐν ἀλλήλοισι συναύξουσ' ἤματα πάντα. quod etiam probabat Valckenarius noster. Ceterum an Cereris vaticinatio exitum habuerit, nescimus. Certe historia nullam, quod sciam, belli civilis inter Eleusinios gesti mentionem facit.

Εἰμὶ δὲ Δημήτηρ τιμάοχος, ἥ τε μέγιστον
Ἀθανάτοις θνητοῖσί τ᾽ ὄνειαρ κ᾽ χάρμα τέτυκται.
Ἀλλ᾽ ἄγε, μοι νηόν τε μέγαν, κ᾽ βωμὸν ὑπ᾽ αὐτῷ,
Τευχόντων πᾶς δῆμος, ὑπαὶ πόλιν, αἰπύ τε τεῖχος,
Καλλιχόρου καθύπερθεν, ἐπὶ προὔχοντι κολωνῷ.
Ὄργια δ᾽ αὐτὴ ἐγὼν ὑποθήσομαι, ὡς ἂν ἔπειτα,
Εὐαγέως ἔρδοντες, ἐμὸν νόον ἱλάσκοισθε.
Ὣς εἰποῦσα θεὰ, μέγεθός τε κ᾽ εἶδος ἄμειψε,
Γῆρας ἀπωσαμένη. περί τ᾽ ἀμφί τε κάλλος ἄητο,

Ὀδμὴ

248. Τιμάοχος] H. in Vener. 31. de Vesta: Πᾶσιν δ᾽ ἐν νηοῖσι θεῶν τιμάοχός ἐστι. Τιμοῦχος, vel poëtice τιμάοχος est, qui primum locum tenet, summo honore praeditus est. Unde magistratus in nonnullis Graecorum civitatibus τιμοῦχοι dicebantur. Vide Is Casaubonum ad Athen. IV. 13.

249. Θνητοῖσί τ᾽] MS. θνητοῖσιν. Ut versus rectis pedibus incedat, scribendum: Ἀθανάτοις θνητοῖσί τ᾽ ὄνειαρ, χάρμα τ᾽, ἐτύχθη.

252. Καλλιχόρου καθύπερθεν] Triptolemi quidem, non Cereris, templum in Eleusiniis reperit Pausanias Attic. 38. ut Cereris jam tum injuria temporis abolitum videatur. Post omnis religio translata est in inclytum illud Ἐλευσίνιον, quod Athenis erat; de quo idem Attic. 14. De Callichoro fonte vide Spanhem. ad Callim. H. in Cerer. 16.

256. Κάλλος ἄητο] Hesiodus Asp. 8. Τῆς κ᾽ ἀπὸ κρῆθεν, βλεφάρων τ᾽ ἀπὸ κυανεάων Τοῖον ἄηθ᾽, οἷόν τε πολυχρύσου Ἀφροδίτης. ad quem locum respexit Etymologus M. p. 23. l. 15. ἄητο explicans ἀπαυγάζει. Hoc verbum, quod in

Ὀδμὴ δ᾽ ἱμερόεσσα θυηέντων ἀπὸ πέπλων
Σκίδνατο, τῆλε δὲ φέγγος ἀπὸ χροὸς ἀθανάτοιο
Λάμπε θεῆς, ξανθαὶ δὲ κόμαι κατενήνοθεν ὤμους,
Αὐγῆς δ᾽ ἐπλήσθη πυκινὸς δόμος, ἀστεροπῆς ὥς.
Βῆ δὲ δι᾽ ἐκ μεγάρων. Τῆς δ᾽ αὐτίκα γούνατ᾽ ἔλυντο,
Δηρὸν δ᾽ ἄφθογγος γένετο χρόνον, οὐδέ τι παιδὸς
Μνήσατο τηλυγέτοιο ἀπὸ δαπέδου ἀνελέσθαι.
Τοῦ δὲ κασίγνηται φωνὴν ἐσάκουσαν ἐλεινὴν,
Κὰδ δ᾽ ἄρ᾽ ἀπ᾽ εὐστρώτων λεχέων θόρον. ἡ μὲν ἔπειτα,
Παῖδ᾽ ἀνὰ χερσὶν ἑλοῦσα, ἑῷ ἐγκάτθετο κόλπῳ·

Ἡ

in primis frequentavit Apollon. Rhod. II. 81. III. 288. 688. IV. 1673. interdum iisdem translationibus inservit, quibus Latinum *spiro*. Vide Eustath. ad Il. Φ. p. 1242.

259. Κόμαι κατενήνοθεν ὤμους] Hesiodus Asp. 269. πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους ubi quam inanis sit Gujeti conjectura, πολλὴ δὲ κόνις ἐπενήνοθεν ὤμοις, hic locus ostendit.

260. Αὐγῆς δ᾽ ἐπλήσθη] Sic correxi quod erat in Cod. MS. Αὐτῆς δ᾽ ἐπλήσθη. Hegesippi Epigramma ex emendatione nostra Ep. Crit. II. p. 44. ἐφάνη γὰρ οἱ αὐτὰ (Diana) Ἱστοῦ παρὰ κρόκαισιν, ὡς αὐγὰ πυρός. Vide supra ad vs. 189.

262. Δηρὸν—χρόνον] Il. Ξ. 206. Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται.

264. Ἐλεινὴν] Pro ἐλεεινὴν, quod in Cod. MS. est, rariorem formam ἐλεινὴν reposui, ut versui laboranti mederer. Grammaticus MS. in Bibl. Sangermanensi: Ἐλεινὸν, ἀντὶ τοῦ, ἐλεεινόν. Εὔπολις Αἰξίν.

Ἡ δ᾽ ἄρα πῦρ ἀνέκαι᾽· ἡ δ᾽ ᾽ἔσυτο ποσσ᾽ ἁπαλοῖσι,
Μητέρ᾽ ἀναστήσουσα θυώδεος ἐκ θαλάμοιο.
᾽Αγρόμεναι δέ μιν ἀμφὶς ἐλούεον ἀσπαίροντα,
᾽Αμφαγαπαζόμεναι. τοῦ δ᾽ οὐ μειλίσσετο θυμός.
Χειρότεραι γὰρ δή μιν ἔχον τροφοὶ ἠδὲ τιθῆναι.
Αἳ μὲν παννύχιαι κυδρὴν θεὸν ἱλάσκοντο,
Δείματι παλλόμεναι, ἅμα δ᾽ ἠοῖ φαινομένηφι
Εὐρυβίῃ Κελεῷ νημερτέα μυθήσαντο,
Ὡς ἐπέτελλε θεὰ, καλλιστέφανος Δημήτηρ.
Αὐτὰρ ὅ γ᾽ εἰς ἀγορὴν καλέσας πολυπείρονα λαὸν,
Ἤνωγ᾽ ἠϋκόμῳ Δημήτερι πίονα νηὸν
Ποιῆσαι, καὶ βωμὸν ἐπὶ προὔχοντι κολωνῷ.
Οἱ δὲ μάλ᾽ αἶψα πίθοντο, καὶ ἔκλυον αὐδήσαντος,
Τεῦχον δ᾽, ὡς ἐπέτελλ᾽. ὁ δ᾽ ἀέξετο δαίμονος αἴσῃ.

Αὐ-

ξίν. Eustath. ad Il. x. p. 1276. Ὅτι δὲ τὸ ἐλεεινὸν, καὶ ἐλεινὸν τρισυλλάβως ἐλέγετο, παραδεδώκασιν οἱ τεχνικοί.

267. Πῦρ ἀνέκαι᾽] Hanc lectionem de correctione nostra in textum recepimus. Codex MS. habet, πυρὰν ἔκαι᾽. Eundem librariorum errorem in Homero Od. I. 251. Ernestus, in Herodoto IV. 145. Wesselingius & Valckenarius notarunt.

277. Ἤνωγ᾽] MS. Ἠνώγει.

Αὐτὰρ ἐπεὶ ἐτέλεσσαν, καὶ ἐρώησαν καμάτοιο,
Βὰν δ' ἴμεν οἴκαδ' ἕκαστος· ἀτὰρ ξανθὴ Δημήτηρ
Ἔνθα καθεζομένη, μακάρων ἀπὸ νόσφιν ἁπάντων,
Μίμνε πόθῳ μινύθουσα βαθυζώνοιο θυγατρός.
Αἰνότατον δ' ἐνιαυτὸν ἐπὶ χθόνα πουλυβότειραν
Ποίησ' ἀνθρώποις καὶ κύντατον. οὐδέ τι γαῖα
Σπέρμ' ἀνίει· κρύπτεν γὰρ ἐϋστέφανος Δημήτηρ.
Πολλὰ δὲ καμπύλ' ἄροτρα μάτην βόες εἷλκον ἀρούραις·
Πολλὸν δὲ κρῖ λευκὸν ἐτώσιον ἔμπεσε γαίῃ.

Καὶ

281. Αὐτὰρ ἐπεὶ ἐτέλεσσαν] Monuit me amicissimus Valckenarius, versum justo longiorem sic corrigendum esse: Αὐτὰρ ἐπεὶ τέλεσαν, καὶ ἐρώησαν καμάτοιο. Mox cum Cl. Wyttenbachio scribe: Βὰν ῥ' ἴμεν.

284. Μίμνε πόθῳ μινύθουσα] Apollon. Rhod. I. 286. Σεῖο πόθῳ μινύθουσα δυσάμμορος. Vide J. F. Gronovium ad Liv. XXI. 52.

285. Αἰνότατον δ' ἐνιαυτὸν] Crudele Cereris consilium etiam Ovidius narrat Met. V. 477. seqq. *Ergo illic saeva vertentia glebas Fregit aratra manu: parilique irata colonos Ruricolasque boves leto dedit: arvaque jussit Fallere depositum; vitiataque semina fecit.* &c. Contra Carcinus, poëta tragicus, apud Diodor. Sicul. V. p. 334. tradit, Siculos prae moerore, quem ex Proserpinae raptu cepissent, agriculturam neglexisse, & sic fame periisse: πένθεσι δὲ παρθένου Σίτων ἄμοιρον διοτρεφὲς φθίνειν γένος.

289. Ἐτώσια ἔμπεσε γαίῃ] Il. Ρ. 633. de telis frustra jactis: ἐτώσια πίπτει ἔραζε.

Καί νύ κε πάμπαν ὄλεσσε γένος μερόπων ἀνθρώπων
Λιμοῦ ὑπ᾽ ἀργαλέης, γεράων τ᾽ ἐρικυδέα τιμὴν,
Καὶ θυσιῶν ἤμερσεν Ὀλύμπια δώματ᾽ ἔχοντας,
Εἰ μὴ Ζεὺς ἐνόησεν, ἑῷ δ᾽ ἐφράσσατο θυμῷ.
Ἶριν δὲ πρῶτον χρυσόπτερον ὦρσε καλέσσαι
Δήμητρ᾽ ἠΰκομον, πολυήρατον εἶδος ἔχουσαν.
Ὣς ἔφαθ᾽. ἡ δὲ Ζηνὶ κελαινεφέϊ Κρονίωνι
Πείθετο, καὶ μεσσηγὺ διέδραμεν ὦκα πόδεσσιν.
Ἵκετο δὲ πτολίεθρον Ἐλευσῖνος θυοέσσης,
Εὗρε δὲ ἐν νηῷ Δημήτερα κυανόπεπλον,
Καί μιν φωνήσασ᾽, ἔπεα πτερόεντα προσηύδα·
Δημῆτερ, καλέει σε πατὴρ Ζεὺς ἄφθιτα εἰδὼς,

Ἐλ-

293. Ἑῷ δ᾽ ἐφράσσατο] Fonteinius noſter malit: ἑῷ τ᾽ ἐφρ. ut Od. Κ. 453.

294. Ἶριν δὲ πρῶτον] Hanc certam & liquidam emendationem recepi. In Cod. MS. legitur, Ἥρην δὲ πρῶτον χρυσόπτερον, errore nato ex recentiorum Graecorum pronuntiatione. Il. Θ. 398. Ἶριν δ᾽ ὄτρυνε χρυσόπτερον ἀγγελέουσαν. Iridis miniſterium in hac fabula etiam commemorat Claudianus de Rapt. Proſerp. III. 1.

297. Μεσσηγὺ διέδραμεν] H. in Apoll. 107. Αὐτὰρ ἐπεὶ τό γ᾽ ἄκουσε ποδήνεμος ὠκέα Ἶρις, Βῆ ῥα θέειν, ταχέως δὲ διήνυσε πᾶν τὸ μεσσηγύ.

301. Καλέει σε πατὴρ] Forte,

Ἐλθέμεναι μετὰ φῦλα θεῶν αἰειγενετάων.
Ἀλλ' ἴθι, μηδ' ἀτέλεστον ἐμὸν ἔπος ἐκ Διὸς ἔστω.
Ὣς φάτο λισσομένη. τῆς δ' οὐκ ἐπεπείθετο θυμός.
Αὖτις ἔπειτα μάκαρας θεοὺς αἰὲν ἐόντας
Πάντας ἐπιπροΐαλλεν. ἀμοιβηδὶς δὲ κίοντες
Κίκλησκον, καὶ πολλὰ δίδον περικαλλέα δῶρα,
Τιμάς θ', ἅς κ' ἐθέλοιτο μετ' ἀθανάτοισιν ἑλέσθαι.
Ἀλλ' οὔτις πεῖσαι δύνατο φρένας οὐδὲ νόημα
Θυμῷ χωομένης. στερεῶς δ' ἠναίνετο μύθους.

Οὐ

te, ejectis vocibus, σε πατὴρ, legendum: Δημῆτερ, καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς. ut Il. Ω. 88. Ὄρσο, Θέτι, καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς. Eadem formula est H. in Vener. 43. & apud Hesiod. Theog. 545. 561.

303. Μηδ' ἀτέλεστον ἐμὸν ἔπος] Pro eo dicitur Il. Β. 361. Οὔτοι ἀπόβλητον ἔπος ἔσσεται Il. Ω. 92. οὐδ' ἅλιον ἔπος ἔσσεται. H. in Apoll. 540. Ἠέ τι τηΰσιόν γ' ἔπος ἔσσεται.

305. Αὖτις ἔπειτα] Recte vidit Valckenarius, ex hoc versu πατὴρ, vel simile Jovis nomen excidisse.

308. Τιμάς θ'] Intellige partes, quas Ceres haberet in hujus universi administratione. Vim vocis, paucis cognitam, egregie explicuit Valckenarius ad Euripid. Hippol. 107. Vide infra vs. 346. Μοῖραν vocat Hesiodus Theog. 348. αἶσαν ibid. 422. λᾶξιν Callimach. H. in Jov. 80.

310. Στερεῶς δ' ἠναίνετο μύθους] Il. Ι. 506. Ὃς δέ κ' ἀνήνηται, καί τε στερεῶς ἀποείπῃ.

Οὐ μὲν γάρ ποτε, φάσκε, θυώδεος Οὐλύμποιο
Πρίν γ' ἐπιβήσεσθ', ὃ πρὶν γῆς καρπὸν ἀνήσειν,
Πρὶν ἴδοι ὀφθαλμοῖσιν ἑὴν εὐώπιδα κούρην.
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε βαρύκτυπος εὐρύοπα Ζεὺς,
Εἰς Ἔρεβος πέμψε χρυσόρραπιν Ἀργειφόντην,
Ὄφρ', Ἀΐδην μαλακοῖσι παραιφάμενος ἐπέεσσιν,
Ἁγνὴν Περσεφόνειαν ἀπὸ ζόφου ἠερόεντος
Ἐς φάος ἐξαγάγοι μετὰ δαίμονας, ὄφρα, ἑ μήτηρ
Ὀφθαλμοῖσιν ἰδοῦσα, μεταλλήξειε χόλοιο.

Ἑρ-

312. Πρίν γ' ἐπιβήσεσθ'] Fonteinius V. C. versum bene sic constituit: Πρίν γ' ἐπιβήσεσθαι, κ' οὐ πρὶν γῆς καρπὸν ἀνήσειν.

313. Πρὶν ἴδοι] Metro flagitante, scribe: Πρίν γ' ἴδοι. Πρὶν saepe duplicavit Homerus, ut Od. Δ. 475. Οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν — Πρίν γ' ὅτ' ἂν Αἰγύπτοιο διϊπετέος ποταμοῖο Αὖτις ὕδωρ ἔλθῃς. &, Homeri exemplo, Sophocles Trachin. 637. δέδοικα γὰρ, Μὴ πρὶν λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ, Πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθούμεθα. nisi ibi cum doctissimo Brunckio ad Aeschyl. Prometh. 702. legere malis: Μὴ πρῷ λέγοις ἂν &c. Pro πρὶν, πρὶν eodem pleonasmo etiam πρότερον, vel πρῶτον, πρὶν dicitur. Plato Phaedon. p. 389. F. μὴ πρότερον κομήσειν, πρὶν ἂν νικήσω ἀναμαχόμενος. Vide Dukerum ad Thucyd. VI. 57.

319. Μεταλλήξειε χόλοιο] Il. I. 157. Ταῦτα κέ οἱ τελέσαιμι μεταλλήξαντι χόλοιο.

Ἑρμῆς δ' ἐκ ἀπίθησεν, ἄφαρ δ' ὑπὸ κεύθεα γαίης
Ἐσσυμένως κατόρουσε, λιπὼν ἕδος Οὐλύμποιο.
Τέτμε δὲ τόν γε ἄνακτα δόμων ἔντοσθεν ἐόντα,
Ἥμενον ἐν λεχέεσσι σὺν αἰδοίῃ παράκοιτι,
Πολλ' ἀεκαζομένῃ μητρὸς πόθῳ ἠδ' ἐπ' ἀτλήτων
Ἔργοις θεῶν μακάρων μητίσετο βουλῇ.
Ἀγχοῦ δ' ἱστάμενος προσέφη κρατὺς Ἀργειφόντης·
Ἅιδη κυανοχαῖτα, καταφθιμένοισιν ἀνάσσων,
Ζεύς σε πατὴρ ἤνωγεν ἀγαυὴν Περσεφόνειαν
Ἐξαγαγεῖν Ἐρέβευσφι μετὰ σφέας, ὄφρα, ἑ μήτηρ
Ὀφθαλμοῖσιν ἰδοῦσα, χόλου καὶ μήνιος αἰνῆς
Ἀθανάτοις παύσειεν· ἐπεὶ μέγα μήδεται ἔργον,
Φθῖσαι φῦλ' ἀμενηνὰ χαμαιγενέων ἀνθρώπων,

Σπέρμ'

324. Ἠδ' ἐπ' ἀτλήτων &c.] Legendum: Πολλ' ἀεκαζομένη μητρὸς πόθῳ, ἥ τ' ἀτέλεστον Ἔργοις ἀθανάτων μακάρων μητίσατο βουλήν. Sic si minus omnino, certe ex parte, manum Poëtae mihi assecutus videor.

326. Κρατὺς Ἀργειφόντης] MS. κρατερὸς Ἀργειφόντης. Vide vs. 357.

328. Ζεύς σε πατὴρ] Malim cum Cl. Wyttenbachio: Ζεύς με πατήρ. ut hoc ipse de se dicat Mercurius.

332. Χαμαιγενέων ἀνθρώπων] H.

Στέρμ' ὑπὸ γῆς κρύπτουσα, καταφθινύθουσα δὲ τιμὰς
Ἀθανάτων. ἡ δ' αἰνὸν ἔχει χόλον, οὐδὲ θεοῖσι
Μίσγεται, ἀλλ' ἀπάνευθε θυώδεος ἔνδοθι νηοῦ
Ἧσται, Ἐλευσῖνος κραναὸν πτολίεθρον ἔχουσα.
Ὣς φάτο. μείδησεν δὲ ἄναξ ἐνέρων Ἀϊδωνεὺς
Ὀφρύσιν, οὐδ' ἀπίθησε Διὸς βασιλῆος ἐφετμῆς.
Ἐσσυμένως δ' ἐκέλευσε δαΐφρονι Περσεφονείῃ·
Ἔρχεο, Περσεφόνη, παρὰ μητέρα κυανόπεπλον,
Ἤπιον ἐν στήθεσσι μένος καὶ θυμὸν ἔχουσα,
Μηδέ τι δυσθύμαινε λίην περιώσιον ἄλλων.

Οὔ-

H. in Vener. 108. κύδιστε χαμαιγενέων ἀνθρώπων. Hesiodus Theog. 879. Ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων.

337. Ἐνέρων] MS. ἀνέρων.

Ibid. Μείδησεν—ὀφρύσιν] Ita Hermesianax apud Athen. XIII. p. 597. C. de Cocyto: Κωκυτόν τ' ἀθέμιστον ἐπ' ὀφρύσι μειδήσαντα.

338. Ἀπίθησε — ἐφετμῆς] Notanda est constructio verbi ἀπιθεῖν cum Genitivo, quae iterum occurrit vs. 427. οὐδ' ἀπίθησε θεὰ Διὸς ἀγγελιάων. Hoc schema νησιωτικὸν vocat Lesbonax p. 181.

342. Δυσθύμαινε λίην] Eleganter Wyttenbachius conjicit: Μηδέ τι δυσθύμαινε, φίλη, περιώσιον ἄλλως. Ἄλλως est *frustra*. Supra vs. 83. οὐδέ τι σε χρὴ Μὰψ αὔτως ἄπλητον ἔχειν χόλον.

Οὔτοι ἐν ἀθανάτοισιν ἀεικὴς ἔσσομ' ἀκοίτης,
Αὐτοκασίγνητος πατρὸς Διός. ἐνθάδ' ἰοῦσα,
Δεσπόσεις πάντων, ὁπόσα ζώει τε καὶ ἕρπει,
Τιμὰς δὲ σχήσησθα μετ' ἀθανάτοισι μεγίστας.
Τῶν δ' ἀδικησάντων τίσις ἔσσεται ἤματα πάντα,
Οἵ κεν μὴ θυσίαισι τεὸν μένος ἱλάσκονται,
Εὐαγέως ἔρδοντες, ἐναίσιμα δῶρα τελοῦντες.
Ὣς φάτο. γήθησεν δὲ περίφρων Περσεφόνεια,
Καρπαλιμῶς δ' ἀνόρουσ' ὑπὸ χάρματος. Αὐτὰρ ὅγ' αὐτὸς
Ῥοιῆς κόκκον ἔδωκε φαγεῖν μελιηδέα λάθρη,

Ἀμφί

345. Δεσπόσεις] Metrum postulat Δεσπόζεις. Ceterum cum hoc loco comparandus Claudianus de Rapt. Proserp. II. 294. seqq. Veterum de hac fabula locis, a Jo. Meursio Eleusin. cap. 25. collectis, adde Ovidium Met. V. 536. & Porphyrium de Abst. An. IV. p. 353.

Ibid. Ὁπόσα ζώει τε καὶ ἕρπει] Pro eo Il. P. 447. ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει. Mox mihi non placet σχήσησθα.

348. Ἱλάσκονται] Cl. Valckenarius praefert ἱλάσκωνται.

352. Ῥοιῆς κόκκον ἔδωκε] Ibid. Μελιηδέα λάθρη] Lege: Ῥοιῆς κόκκον ἔδωκε φαγεῖν, μελιηδέα δαῖτα. ut infra vs. 392. Ἔμβαλέ μοι ῥοιῆς κόκκον, μελιηδέ' ἐδωδήν. MS. hoc versu nullum distinctionis signum habet; ut λάθρη etiam ad sequens, Ἀμφὶ ἑ νωμήσας, referri possit. Quod tamen ne sic quidem intelligo.

Ἀμφὶ ἑ νωμήσας, ἵνα μὴ μένοι ἤματα πάντα
Αὖθι παρ᾽ αἰδοίῃ Δημήτερι κυανοπέπλῳ.
Ἵππους δὲ προπάροιθεν ὑπὸ χρυσέοισιν ὄχεσφι
Ἔντυεν ἀθανάτους πολυσημάντωρ Ἀϊδωνεύς.
Ἡ δ᾽ ὀχέων ἐπέβη, παρὰ δὲ κρατὺς Ἀργειφόντης,
Ἡνία ϗ μάστιγα λαβὼν μετὰ χερσὶ φίλῃσι,
Σεῦε δι᾽ ἐκ μεγάρων· τὼ δ᾽ οὐκ ἄκοντε πετέσθην.
Ῥίμφα δὲ μακρὰ κέλευθα διήνυσαν· οὐδὲ θάλασσα,
Οὔθ᾽ ὕδωρ ποταμῶν, οὔτ᾽ ἄγκεα ποιήεντα,
Ἵππων ἀθανάτων, οὔτ᾽ ἄκριες, ἔσχεθον ὁρμήν,
Ἀλλ᾽ ὑπὲρ αὐτάων βαθὺν ἠέρα τέμνον ἰόντες.
Στῆσε δ᾽ ἄγων, ὅθι μίμνεν ἐϋστέφανος Δημήτηρ,

Νηοῖο

355. Ἵππους — Ἔντυεν] Il. Ε. 720. Ἡ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους. ubi nihil opus esse Clarkii conjectura ἔντυνεν, hic locus ostendit. Quanquam Hesychius etiam vulgatam in Homero lectionem satis confirmat.

357. Ἡ δ᾽ ὀχέων ἐπέβη] Simillimus locus Il. Ε. 364. Ἡ δ᾽ ἐς δίφρον ἔβαινεν, ἀκηχεμένη φίλον ἦτορ. Πὰρ δέ οἱ Ἶρις ἔβαινε, ϗ ἡνία λάζετο χερσί· Μάστιξεν δ᾽ ἐλάαν, τὼ δ᾽ οὐκ ἄκοντε πετέσθην.

364. Στῆσε δ᾽ ἄγων] Hunc locum emendavi ex Il. Β. 557. Αἴας δ᾽ ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας, Στῆσε δ᾽ ἄγων,

Νηοῖο προπάροιθε θυώδεος. ἡ δὲ ἰδοῦσα
Ἤϊξ', ἠΰτε μαινὰς ὄρος κατὰ δάσκιον ὕλης.
Περσεφόνη δ' ἑτέρω - - - - - -
Μητρὸς ἑῆς κατ - - - - - - -
Ἆλτο θέειν - - - - - - - -

Τη-

ἄγων, ἵν' Ἀθηναίων ἵσαντο φάλαγγες. In Cod. MS. erat, Στῆσε δ' ἀγῶν'.

366. Ἠΰτε μαινὰς] Saepe irati & furiosi Maenadibus comparantur. At quis, sana mente praeditus, matrem ad conspectum filiae, quam periisse putabat, exultantem, Maenadi similem faciat? Repone: ἡ δὲ ἰδοῦσα Ἤϊξ', ἠΰτε κεμμὰς ὄρος κατὰ δάσκιον ὕλης. Hesychius: Κεμμάς. ἔλαφος νέος. Latine, *hinnulus*. Supra vs. 174. Αἱ δ', ὥς τοι ἔλαφοι, ἢ πόρτιες εἴαρος ὥρῃ, Ἅλλοντ' ἂν λειμῶνα. ubi vide annotationem.

367. Περσεφόνη δ' ἑτέρω] Hic complurium versuum nunquam reparandam jacturam fecimus. De qua lacuna, non alienum fuerit, Cl. Matthaei verba apponere: „ Hic versu 367. „ seqq. & infra vs. 441. „ seqq. ex medio folio pars „ prioris & vetustioris char„ tae interiit. Ejus locum „ nunc recentior charta „ occupat, quae glutine „ est priori juncta. Ubi „ hic spatium vacuum reli„ qui, ibi in Codice et„ iam est vacuum spatium. „ Quae autem linea notavi, „ a manu recentiori partim „ scripta sunt, partim de„ nuo atramento inducta. „ Quia autem Codicis sin„ gula folia binas colum„ nas habent, accidit, ut „ in altera pagina excide„ rent postrema verba ver„ suum; in altera priora ". Hactenus ille. Nos, quicquid manus recentior scripsit, minusculis literis exscribendum curavimus.

Τῆδε - - - - - - - - - -
Ἀ - - - - - - - - - - -
- - - - - - - - - - - -
Τέκνον, μή ῥ' ἀτίμ - - - - - -
Βρώμης. ἐξαύδ - - - - - - - -
Ὡς μὲν γάρ κε νέες - - - - - - -
Καὶ παρ' ἐμοὶ ϗ πατρὶ κελαινεφέϊ Κρονίωνι
Ναιετάεις πάντεσσι τετιμημένη ἀθανάτοισι.
Εἰ δὲ πτᾶσα πάλιν ἴϐσ' ὑπὸ κεύθεσι γαίης

Οἰ-

377. Τετιμημένη ἀθανάτοισι] Graeculus, lacunas explere conatus, metri inſcitiam non uno prodidit indicio, velut hic τετιμημένη ſcribens pro τετιμένη.

378. Εἰ δὲ πτᾶσα] Senſus loci mutili hic eſſe videtur: Si nihil in Orco guſtaſti, apud me & Jovem patrem manebis. Sin quid guſtaſti, tertiam anni partem in Orco deges. Quo magis mihi blanditur conjectura Wyttenbachii: Εἰ δ' ἐπάσω, *ſi guſtaſti*. Totum locum ſic conſtituam: Εἰ δ' ἐπάσω, πάλιν αὖτις ἰϐσ' ὑπὸ κεύθεα γαίης, Οἰκήσεις ὡρῶν τριτάτην μοῖραν. . . . . . Πάλιν & αὖτις centies junguntur, ut a Callimacho H. in L. P. 141. ϗ ἐς πάλιν αὖτις ἐλάσαις Ἵππως. Comparandus infra vſ. 424. Νεῦσε δέ οἱ κούρην ἔτεος περιτελλομένοιο Τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα, Τὰς δὲ δύω παρὰ μητρὶ ϗ ἄλλοις ἀθανάτοισι. Hinc Graeculus bene ſupplevit μοῖραν. Sed εἰς ἐνιαυτὸν alienum eſt, & metrum perimit.

Οἰκήσεις ὀρέων τριτάτην μοῖραν εἰς ἐνιαυτὸν,
Τὰς δὲ δύω παρ' ἐμοί τε καὶ ἄλλοις ἀθανάτοισι.
Ὁππότε δ' ἄνθεσι γαῖ' εὐώδεσιν ἠαρινοῖσι
Παντοδαποῖς θάλλει, τότ' ἀπὸ ζόφου ἠερόεντος
Αὖτις ἀγεῖ μέγα θαῦμα θεοῖς θνητοῖς τ' ἀνθρώποις.
Καί τιν' ἐξαπάτησε δόλῳ κρατερὸς Πολυδέγμων.
Τὴν δ' αὖ Περσεφόνη περικαλλὴς ἀντηύδα·
Τοὶ γὰρ ἐγώ σοι, μῆτερ, ἐρῶ νημερτέα πάντα·
Εὖτέ μοι Ἑρμῆς ἐριούνιος, ἄγγελος ὠκὺς,
Πὰρ πατέρος Κρονίδαο καὶ ἄλλων οὐρανιώνων
Ἐλθεῖν ἐξ Ἐρέβευς ἅμ' ὀφθαλμοῖσιν ἰδοῦσα,

Λή-

381. Εὐώδεσιν ἠαρινοῖσι] Melius doctiſſimus Fonteinius ſupplet: Ὁππότε δ' ἄνθεσι γαῖ' εὐώδεσιν, εἴαρος ὥρῃ.

383. Αὖτις ἀγεῖ] Sic vetus Codex. Wyttenbachius legit ἄνει, ſecunda perſona futuri verbi ἄνειμι, *ſurſum eo, redeo.*

384. Καὶ τιν' ἐξαπάτησε] Lege per interrogationem: Καὶ τίνι σ' ἐξαπάτησε, quanquam ϰ vix ferri poteſt hoc loco.

385. Περικαλλὴς ἀντηύδα] Supple potius: περικαλλὴς ἀντίον ηὔδα.

387. Ἑρμῆς ἐριούνιος] Lex metri poſtulat: Ἑρμείης ἐριούνιος.

389. Ἐλθεῖν ἐξ Ἐρέβευς] Scribendum: Ἤλυθεν ἐξαγαγὼν, ὄφρ', ὀφθαλμοῖσι μ' ἰδοῦσα,

Λή-

Λήξαις ἀθανάτοισι χόλου καὶ μήνιος αἰνῆς,
Αὐτὰρ ἐγὼν ἀνόρουσ' ὑπὸ χάρματος· ἀτὰρ λάθρῃ
Ἔμβαλέ μοι ῥοιῆς κόκκον, μελιηδέ' ἐδωδὴν,
Ἄκουσαν δὲ βίῃ με προσηνάγκασε πάσασθαι.
Ὤιχετο πατρὸς ἐμοῖο φέρων ὑπὸ κεύθεα γαίης.
Ἐξερέω, καὶ πάντα διΐξομαι, ὡς ἐρεείνεις·
Ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα,

Λευ-

Λήξαις ἀθανάτοισι χόλου καὶ μήνιος αἰνῆς. Supra vſ. 328. Ζεύς με πατὴρ ἤνωγεν ἀγαυὴν Περσεφόνειαν Ἐξαγαγεῖν Ἐρέβευσφι μετὰ σφέας, ὄφρα, ἑ μήτηρ Ὀφθαλμοῖσιν ἰδοῦσα, χόλου καὶ μήνιος αἰνῆς Ἀθανάτοις παύσειεν. Inde Graeculus verſum 390. bene quidem ſupplevit: at temere arripuit Ἐρέβευς, quod contextus repudiat.

391. Αὐτὰρ ἐγὼν ἀνόρουσ' ὑπὸ χάρματος] Lege: Εἶθαρ ἐγὼν ἀνόρουσ' ὑπὸ χάρματος. Supplementum ἀνόρουσ' ὑπὸ recte ſumtum eſt ex vſ. 351. Καρπαλίμως δ' ἀνόρουσ' ὑπὸ χάρματος.

Ibid. Ἀτὰρ λάθρῃ Ἔμβαλέ μοι] Miror, hunc locum ſic eſſe interpolatum ex corrupto vſ. 352., cum in promtu eſſet ex vſ. 351. legere: αὐτὰρ ὅ γ' αὐτὸς Ἔμβαλέ μοι &c.

393. Προσηνάγκασε] Scribe, προσηνάγκασσε, aut, ſi hoc paulo inſolentius videatur, προσηνάγκαζε.

394. Ὤιχετο πατρὸς ἐμοῖο] Hic plurium verſuum lacunam eſſe, res ipſa loquitur.

395. Ἐξερέω, καὶ πάντα] Il. I. 61. Ἐξείπω, καὶ πάντα διΐξομαι.

396. Ἡμεῖς μὲν μάλα πᾶσαι] Hunc locum laudat Pauſanias Meſſen. cap. 30. ut Τύχης nomen ab Homero omnium

Λευκίππη, Φαινώ τε, καὶ Ἠλέκτρη, καὶ Ἰάνθη,
Καὶ Μελίτη, Ἰαχή τε, Ῥόεια τε, Καλλιρόη τε,
Μηλοβότη τε, Τύχη τε, καὶ Ὠκυρόη καλυκῶπις,
Χρυσηΐς τ', Ἰάνειρά τ', Ἀκάστη τ', Ἀδμήτη τε,
Καὶ Ῥοδόπη, Πλουτώ τε, καὶ ἱμερόεσσα Καλυψώ,
Καὶ Στὺξ, Οὐρανίη τε, Γαλαξαύρη τ' ἐρατεινὴ,

Παλ-

omnium primo commemoratum doceat: Πρῶτος δὲ, ὧν οἶδα, ἐποιήσατο ἐν τοῖς ἔπεσιν Ὅμηρος Τύχης μνήμην. ἐποιήσατο δὲ ἐν ὕμνῳ τῷ ἐς τὴν Δήμητρα, ἄλλας τε τοῦ Ὠκεανοῦ θυγατέρας καταριθμούμενος, ὡς ὁμοῦ Κόρῃ τῇ Δήμητρος παίζοιεν, καὶ Τύχην ὡς Ὠκεανοῦ, καὶ ταύτην παῖδα οὖσαν. καὶ οὕτως ἔχει τὰ ἔπη· Ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα, Λευκίππη, Φαινώ τε, καὶ Ἠλέκτρη, καὶ Ἰάνθη, Μηλόβοσίς τε, Τύχη τε, καὶ Ὠκυρόη καλυκῶπις. Πέρα δὲ ἐδήλωσεν οὐδὲν ἔτι, &c. Versum interjectum 398. quia nihil ad rem pertinebat, sive ipse Pausanias, sive ejus librarius, omisit.

397. Λευκίππη, Φαινώ τε] Has nymphas omnes Oceani filias dicit Poëta noster vs. 5. Sed ab aliis partim ut Oceani, partim ut Nerei filiae, commemorantur. Vide Homerum Il. Σ. 39. Hesiod. Theog. 243. inprimis 349. Apollodor. I. 2. p. 5. 6. & Hygin. Fab. I. Electra Proserpinae nutrix dicitur a Claudiano de Rapt. Proserp. III. 171.

398. Ῥόεια τε] Scribe, Ῥοδεία τε, ex Hesiodo Theog. 351. ubi Ῥοδία secunda longa.

399. Μηλοβότη τε] Apud Pausaniam l. c. rectius legitur, Μηλόβοσίς τε. Atque ita Hesiodus l. c. 354. hanc nympham appellat.

400. Ἀκάστη τ'] Sic scripsimus ex Hesiodo l. c. 356. Male Cod. MS. Ἀκατάστη, Ἀδμήτη τε.

402. Γαλαξαύρη τ'] Hoc quoque nomen restituimus ex Hesiodo l. c. 353. MS. Ταλαξαύρη.

Παλλάς τ' ἐγρεμάχη, καὶ Ἄρτεμις ἰοχέαιρα,
Παίζομεν, ἠδ' ἄνθεα δρέπομεν χείρεσσ' ἐρόεντα,
Μίγδα κροκόεντα γανὸν, καὶ ἀγαλλίδας, ἠδ' ὑάκινθον,
Καὶ ῥόδα ἐς κάλυκας, καὶ λείρια θαῦμα ἰδέσθαι,
Νάρκισσόν θ', ὃν ἔφυσ', ὥσπερ κρόκον, εὐρεῖα χθών.

Αὐ-

403. Παλλάς τ' ἐγρεμάχη] Minervam & Dianam, propter commune virginitatis ſtudium, una cum Proſerpina flores legiſſe, magno conſenſu tradunt Diodor. Sicul. V. p. 332. Pauſan. in Arcad. 31. Valer. Flacc. V. 345. Statius Achill. II. 150. & Claudian. de Rapt. Proſerp. I. 227. quanquam hic Venerem quoque Proſerpinae comitem dedit, ſecutus fortaſſe Orpheum Argon. 1190 Ὥς ποτε Φερσεφόνην τέρεν' ἄνθεα χερσὶ δρέπουσαν Ἐξάπαφον συνόμαιμοι ἀν' εὐρύ τε καὶ μέγα ἄλσος. qui ſororum nomine Venerem videtur comprehendiſſe.

404. Ἄνθεα] Non ſcribendum, ſed pronunciandum, ἄνθη, ut ſaepe ad Homerum monuit Clarkius.

405. Κροκόεντα γανὸν] Vox γανὸς pro *flore*, dubito, an Graeca ſit. Valckenario noſtro placebat: Μίγδα κρόκου τε γάνος. ut *crocum* dixerit per periphraſin γάνος κρόκου.

406. Ἐς κάλυκας] Id eſt, in ornamentum colli, vel capillorum. Nec aliter veteres Grammatici hanc vocem ceperunt Il. Σ. 401. Πόρπας τε, γναμπτάς θ' ἕλικας, κάλυκάς τε, καὶ ὅρμους. Praeſtantiſſimus tamen Valckenarius malit: Καὶ ῥόδα ἐκ κάλυκος. Sane roſae proprium eſt κάλυξ.

407. Ὥσπερ κρόκον] In croco perinde, atque in narciſſo, aliquid μυστηριῶδες fuiſſe, colligas e Sophocle Oed. Col. 673. Θάλλει δ' οὐρανίας ὑπ' ἄχνας Ὁ καλλίβοτρυς κατ' ἦμαρ αἰεὶ Νάρκισσος, μεγάλαιν θεαῖν Ἀρχαῖον στεφάνωμ', ὅ, τε Χρυσαυγὴς κρόκος. Vide ſupra ad vſ. 8. Fateor tamen, verba ὥσπερ κρόκον frigere.

Αὐτὰρ ἐγὼ δρεπόμην περὶ χάρματι. γαῖα δ' ἔνερθε
Χώρησεν. τῇ δ' ἔκθορ' ἄναξ κρατερὸς Πολυδέγμων.
Βῆ δὲ φέρων ὑπὸ γαῖαν ἐν ἄρμασι χρυσείοισι
Πολλ' ἀεκαζομένην· ἐβόησα δ' ἄρ' ὄρθια φωνῇ.
Ταῦτά τοι ἀχνυμένη περ ἀληθέα πάντ' ἀγορεύω.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ὁμόφρονα θυμὸν ἔχουσαι,
Πολλὰ μάλ' ἀλλήλων κραδίην καὶ θυμὸν ἴαινον,
Ἀμφαγαπαζόμεναι· ἀχέων δ' ἀπεπαύετο θυμός.
Γηθόσυναι δὲ δέχοντο παρ' ἀλλήλων ἐδίδοντο.
Τῇσιν δ' ἐγγύθεν ἦλθ' Ἑκάτη λιπαροκρήδεμνος·
Πολλὰ δ' ἄρ' ἀμφαγάπησε κόρην Δημήτερος ἁγνήν,
Ἐκ τοῦ οἱ πρόπολος καὶ ὀπάων ἔπλετ' ἄνασσα.
Ταῖς δὲ μετ' ἄγγελον ἧκε βαρύκτυπος εὐρύοπα Ζεὺς
Ῥείην ἠΰκομον, ἣν μητέρα κυανόπεπλον,

Ἀξέ-

408. Δρεπόμην] Hoc de conjectura repoſui pro δρεπομένη quod Cod. MS. habet. Mox περὶ χάρματι mendoſum videtur.

413. Ὣς τότε μὲν πρόπαν ἦμαρ] Idem hemiſtichium Od. I. 161. Pro ἔχουσαι MS. ἔχουσα.

416. Γηθόσυναι] Forte ſcribendum: Γηθοσύνας δὲ δέχοντο παρ' ἀλλήλων, ἔδιδόν τε. Forma δίδον eſt ſupra vſ. 307.

Ἀξέμεναι μετὰ φῦλα θεῶν, ὑπέδεκτο δὲ τιμὰς
Δωσέμεν, ἅς κεν ἕλοιτο μετ' ἀθανάτοισι θεοῖσι.
Νεῦσε δέ οἱ κούρην ἔτεος περιτελλομένοιο
Τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα,
Τὰς δὲ δύω παρὰ μητρὶ καὶ ἄλλοις ἀθανάτοισιν.
Ὣς ἔφατ'. οὐδ' ἀπίθησε θεὰ Διὸς ἀγγελιάων.
Ἐσσυμένως δ' ἤϊξε κατ' Οὐλύμποιο καρήνων,
Εἰς δ' ἄρα ῥίον ἶξε, φερέσβιον οὖθαρ ἀρούρης

Τὰ

424. Νεῦσε δέ οἱ] Desideret aliquis verbum, a quo pendeat κούρην ἔτεος &c. *fore*, vel *mansuram*. Sed sic κατένευσε sine verbo est Il. Θ. 175. Γιγνώσκω δ', ὅτι μοι πρόφρων κατένευσε Κρονίων Νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα.

429. Εἰς δ' ἄρα ῥίον ἶξε] Lege, altera syllaba ῥα, quae excidit, revocata: Εἰς δ' ἄρα Ῥαρίον ἶξε. Nobilis est in historia Attica *campus Rharius*: de quo veterum loca, quae Jo. Meursius de Regn. Att. I. 14. congessit, repetere nolim. Nec tamen, quae Pausanias Attic. 38. ad hunc locum accommodate tradit, sine fraude lectoris omitti possunt: Τὸ δὲ πεδίον τὸ Ῥαρίον σπαρῆναι πρῶτον λέγουσι, καὶ πρῶτον αὐξῆσαι καρπούς. καὶ διὰ τοῦτο οὐλαῖς ἐξ αὐτοῦ χρῆσθαί σφισι, καὶ ποιεῖσθαι πέμματα ἐς τὰς θυσίας καθέστηκεν. Ἐνταῦθα ἅλως καλουμένη Τριπτολέμου, καὶ βωμὸς δείκνυται. Adde, quod Meursio videre non contigit, Marmor Oxon. p. 23. ἀφ' οὗ Τριπτόλεμος καρπὸν ἔσπειρεν ἐν τῇ Ῥαρίᾳ καλουμένῃ Ἐλευσῖνι. Rhari celebratissimum in hac fabula nomen, ex quo non modo campus Rharius, sed ipsa etiam Ceres dicta est *Rharias*, restituendum videtur Scholiastae ad Aristid.

Τὸ πρὶν, ἀτὰρ τότε γ' ὅτι φερέσβιον, ἀλλὰ ἕκηλον
Εἱστήκει παγάφυλλον· ἔκευθε δ' ἄρα κρῖ λευκὸν
Μήδεσι Δήμητρος καλλισφύρε· αὐτὰρ ἔπειτα
Μέλλεν ἄφαρ ταναοῖσι κομήσειν ἀσταχύεσσιν
Ἦρος ἀεξομένοιο, πέδῳ δ' ἄρα πίονες ὄγμοι

Βρυ-

ftid. Panathen. p. 91. Ὁ γὰρ μῦθος αὐτὸς πρώτους λέγει παρὰ θεῶν δεξαμένους τὰ σπέρματα δι' Ἅδου, καὶ διὰ Κελεοῦ, καὶ διὰ Τριπτολέμου. Sic etiam habet vetus Codex Scholiaſtae, nuper ex Bibliotheca Burmanniana in publicam Leidenſem translatus. Sed legendum: διὰ Ῥάρου, καὶ διὰ Κελεοῦ, &c. De qua correctione nos vix dubitare ſinit Suidas: Ῥαριάς. Δημήτηρ. Ῥάρος γὰρ ἔσχεν υἱὸν Κελεόν· Κελεὸς δὲ, Τριπτόλεμον. ὁ δὲ Ῥάρος πλανωμένην τὴν Δήμητρα, καὶ ζητοῦσαν τὴν Κόρην, ὑπεδέξατο ἐν τῷ οἴκῳ. ὑπὲρ τῆς τοιαύτης οὖν χάριτος ἡ Δημήτηρ τὸν ἀπόγονον Ῥάρου Τριπτόλεμον ἐδίδαξε τὴν τοῦ σίτου γεωργίαν. Eadem opera emendandus Servius ad Georg. I. 19. *Triptolemus frumenta diviſit. Quod munus ei Ceres dedit propter humanitatem patris Icari, qui eam, cum Proſerpinam raptam in conjugium a Plutone quaereret, in Attica ſuſcepit hoſpitio.* Lege: *propter humanitatem patris Rhari.* Nam Choerilus apud Pauſan. Attic. 14. Photius Lex. MS. & Heſychius in v. Rharum, non avum Triptolemi, ſed patrem, dicunt.

Ibid. οὖθαρ ἀρούρης] Il. I. 142. Εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαιϊκὸν, οὖθαρ ἀρούρης. Mox forma, πρὶν, ἀτὰρ τότε, eſt Il. Z. 125.

430. Ἀλλὰ ἕκηλον Εἱστήκει παγάφυλλον] Lege partim de mea, partim de Cl. Wyttenbachii conjectura: ἀλλ' ἀπέτηλον Ἕστη καὶ πανάφυλλον. Ἀπέτηλον accipio *ſine ariſtis, ſine ſegete.* Sic πέτηλα *ariſtas* dixit Heſiodus Aſp. 289. ubi vide Graevium.

434. Πέδῳ δ' ἄρα πίονες

ὄγμ-

Βρυσέμεν ἀςαχύων, τὰ δ' ἐν ἐλλεδανοῖσι δεδέσθαι.
Ἔνθ' ἐπέβη πρώτιςον ἀπ' αἰθέρος ἀτρυγέτοιο.
Ἀσπασίως δ' ἴδον ἀλλήλας, κεχάρηντο δὲ θυμῷ.
Τὴν δ' ὧδε προσέειπε Ῥέη λιπαροκρήδεμνος·
Δεῦρο, τέκος, καλέει σε βαρύκτυπος εὐρύοπα Ζεὺς,
Ἐλθέμεναι μετὰ φῦλα θεῶν, ὑπέδεκτο δὲ τιμὰς
Δωσέμεν, ἅς κε θέλῃσθα μετ' ἀθανάτοισι θεοῖσι.
Νεῦσε δέ σοι κούρην ἔτεος περιτελλομένοιο
Τὴν τριτάτην μὲν μοῖραν ὑπὸ ζόφον ἠερόεντα,
ἀθα-

ὄγμοι Βρυσέμεν] Βρυσέμεν, cujus prima semper corripitur, lex metri respuit. Nec reliqua saniora videntur. Lege: Ἦρος ἀεξομένου, πεδίῳ δ' ἄρα πίονες ὄγμοι Βρισέμεν ἀσταχύων. Πεδίῳ ponitur pro ἐν πεδίῳ, ut haec sit constructio: πίονες ὄγμοι ἐν πεδίῳ ἔμελλον βρίσειν ἀσταχύων. Βρίθειν, quod etiam apud Orpheum H. XXXIX. 18. cum βρύειν confunditur, proprium in tali copia verbum esse, docet Gatakerus ad M. Antonin. III. §. 21. Simillimus est locus Hesiodi Asp. 289. οἵ γε μὲν ἤμων Αἰχμῇς ὀξείῃσι, κορωνιόωντα πέτηλα, Βριθόμενα σταχύων, ὡσεὶ Δημήτερος ἀκτήν. Οἱ δ' ἄρ ἐν ἐλλεδανοῖσι δέον, καὶ ἔπιπλον ἀλωήν. Infra vs. 457. Πᾶσα δὲ φύλλοισίν τε καὶ ἄνθεσιν εὐρεῖα χθὼν Ἔβρισ'. Sed locus ne sic quidem persanatus est. Nam nec Genitivus ἀσταχύων pro Dativo positus mihi placet, nec ipsa vocis repetitio, ut alia taceam.

441. Δωσέμεν, ἅς κε] Has lacunas Graeculus explevit ex vs. 423. & seqq. unde etiam

- - - - - - - - - ἀθανάτοισι.
Δύο δὲ παρ' σοὶ ἔσεσθαι, ἑῷ δ' ἐπένευσε κάρητι.
Ἀλλ' ἴθι, τέκνον ἐμὸν, καὶ πείθεο, μηδέ τι λίην
Ἀζηχὲς μενέαινε κελαινεφέϊ Κρονίωνι.
Αἶψα δὲ καρπὸν ἄεξε φερέσβιον ἀνθρώποισι.
Ὣς ἔφατ'. οὐδ' ἀπίθησεν ἐϋστέφανος Δημήτηρ·
Αἶψα δὲ καρπὸν ἀνῆκεν ἀρουράων ἐριβώλων.
Πᾶσα δὲ φύλλοισίν τε καὶ ἄνθεσιν εὐρεῖα χθὼν
Ἔβρισ'. Ἡ δὲ κιοῦσα θεμιστοπόλοις βασιλεῦσι

Εἶ-

etiam vſ. 444. ſic reſtituere poterat: Τὰς δὲ δύω παρὰ σοί γε καὶ ἄλλοις ἀθανάτοισι. Sed ille hoc ſupplementum alieno loco, id eſt, vſ. 445. intruſit.

444. Ἀθανάτοισι] Poſt hunc verſum in Codice MS. temere repetuntur verſus 427. 428. 429. 430. 431. quos, teſte Cl. Matthaeo, etiam manus recentior lineis ſubductis notaverat, tanquam alienos ab hoc loco. Itaque eos delevi.

445. Δύο δὲ παρ' σοὶ ἔσεσθαι] Hoc ſupplementum turpiter claudicat, nec aptum eſt loco. Res talem ſententiam deſiderat: *Hoc Jupiter promiſit, & capitis nutu confirmavit*, ut Il. O. 75. Ὣς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι.

449. Ὣς ἔφατ'. οὐδ' ἀπίθησεν] Hoc ſupplementum ductum eſt ex vſ. 427.

451. Πᾶσα δὲ φύλλοισίν τε] Ovid. Faſt. IV. 615. *Tum demum vultusque Ceres animumque recepit; Impoſuitque ſuae ſpicea ſerta comae*

Εἶπε, Τριπτολέμῳ τε, Διοκλεῖ τε πληξίππῳ,
Εὐμόλπου τε βίῃ, Κελεῷ θ', ἡγήτορι λαῶν,
Δρησμοσύνην θ' ἱερῶν, καὶ ἐπέφραδεν ὄργια καλά.
Τριπτολέμῳ τε, Πολυξείνῳ, ἐπὶ τοῖς δὲ Διοκλεῖ.

Σεμ-

mae. Largaque provenit cessatis messis in arvis; Et vix congestas area cepit opes.

453. Δεῖξε, Τριπτολέμῳ] Tres ex hoc loco versus, 453. 454. 455. cum varietate quadam lectionis, laudat Pausanias Corinth. 14. Οὐ γὰρ ἄν ποτε Ὅμηρος παρῆκεν αὐτὸν (Dysaulen) ἐν τοῖς ἔπεσιν. ἔστι γὰρ καὶ Ὁμήρῳ πεποιημένα ἐς Δήμητρα, ἐν δὲ αὐτοῖς καταλέγων τοὺς διδαχθέντας ὑπὸ τῆς θεοῦ τὴν τελετὴν, Δυσαύλην οὐδένα οἶδεν Ἐλευσίνιον. ἔχει δὲ οὕτω τὰ ἔπη· Δεῖξεν Τριπτολέμῳ τε, Διοκλεῖ τε πληξίππῳ, Εὐμόλπου τε βίῃ, Κελεῷ θ', ἡγήτορι λαῶν, Δρησμοσύνην ἱερῶν, καὶ ἐπέφραδεν ὄργια πᾶσιν. Primum Pausanias pro εἶπε habet δεῖξεν, quod non spreverim. Nam δεικνῦναι exquisite ponitur pro dicere, docere. Od. κ. 302. πόρε φάρμακον Ἀργειφόντης, Ἐκ γαίης ἐρύσας, καί μοι φύσιν αὐτοῦ ἔδειξεν. Euripid. Phoeniss. 532. ἀλλ' ἡ μπειρία Ἔχει τι δεῖξαι τῶν νέων σοφώτερον. ubi alia exempla plena manu dedit Cl. Valckenarius. Mox in Cod. MS. legitur, Χρησμοσύνην θ' ἱερῶν· quod cum nullam sententiam haberet, quantivis pretii lectionem, quae est apud Pausaniam, Δρησμοσύνην ἱερῶν recepi. Etymologus M. p. 287. l. 1. & Hesych. Δρησμοσύνην. θεραπείαν, ὑπηρεσίαν. Altera forma δρηστοσύνη est Od. ο. 320. Denique Pausanias pro ὄργια καλὰ legit ὄργια πᾶσιν· quod Codicis veteris scripturae non videtur praeferendum.

456. Τριπτολέμῳ τε] Scribendum: Τριπτολέμῳ τε, Πολυξείνῳ τε, ἐπὶ τοῖς δὲ Διοκλεῖ. quanquam hoc leve est. At quo modo hic versus cum reliquis cohaeret? Aut quid opus erat Triptolemi & Dioclis mentionem repetere? Forte aliquis hunc versum expungendum putet, ut ceteri sic conjungantur:

καὶ

Σεμνά, τά γ' ὔπως ἐςὶ παρεξέμεν, ὔτε πυθέσθαι,
Οὔτ' ἀχέειν· μέγα γάρ τι θεῶν ἄχος ἰσχάνει αὐδήν.
Ὄλβιος, ὃς τάδ' ὄπωπεν ἐπιχθονίων ἀνθρώπων·

Ὃς

ϰαὶ ἐπέφραδεν ὄργια καλά, Σεμνά, τά γ' ὔπως &c. Verum tantum abest, ut versus abundet, ut potius plures, quibus aptus connexusque fuerit, deesse videantur. Non dubium lacunae indicium facit Pausanias Attic. 38. τὰ δὲ ἱερὰ τοῖν θεοῖν Εὔμολπος ϰαὶ αἱ θυγατέρες δρῶσιν αἱ Κελεῦ. Καλῦσι δὲ σφᾶς Πάμφως τε κατὰ ταυτὰ ϰαὶ Ὅμηρος, Διογένειαν ϰαὶ Παμμερόπην ϰαὶ τρίτην Σαισάραν. Atqui Homerus nusquam has Celei filias aut memoravit, aut memorare potuit, nisi hoc loco, quo, quibus Ceres sacrorum suorum curam demandarit, enarrat. Quarum mentio cum hic nulla sit, quis eam intercidisse ambigat? Celei autem filias Cereris sacerdotes fuisse, gravissimo ipsius Eumolpi testimonio confirmat Suidas v. Εὔμολπος· ὗτος ἔγραψε τελετὰς Δήμητρος, ϰαὶ τὴν ἐς Κελεὸν ἄφιξιν, ϰαὶ τὴν τῶν μυςηρίων παράδοσιν, τὴν ταῖς θυγατράσιν αὐτῦ γενομένην. Ex his tribus sororibus Saesara Croconi, de quo ad vs. 153. diximus, nupta fuit. Vide Pausan. Attic. 38. Eademque hoc praecipuum habuit praeter sorores, ut Eleusis ex ejus nomine *Saesaria* diceretur. Hesychius: Σαισαρία. ἡ Ἐλευσὶν πρότερον.

457. Παρεξέμεν] Παρεξέμεν, si sana est scriptura, significat *praetermittere*, *negligere*. Ἐξέμεν est Il. Α. 141.

458. Οὔτ' ἀχέειν] Hujus loci explicationem pete a Spanhemio ad illa Callimachi H. in Cer. 18. Μὴ μὴ ταῦτα λέγωμες, ἃ δάκρυον ἄγαγε Δηοῖ.

Ibid. Θεῶν ἄχος ἰσχάνει αὐδήν] Valckenario V. C. in mentem veniebat legere: θεῶν ἄγος ἰσχάνει αὐδήν. *Dearum reverentia.* Il. Ξ. 387. δέος ἰσχάνει ἄνδρας.

459. Ὄλβιος, ὃς τάδ' ὄπωπεν] Veteres scriptores, quorum loca Meursius Eleusin. cap. 17. & Valckenarius

Ὃς δ' ἀτελὴς, ἱερῶν ὅς τ' ἄμμορος, οὔποθ' ὁμοίων
Αἶσαν ἔχει, φθίμενός περ ὑπὸ ζόφῳ εὐρώεντι.
Αὐτὰρ ἐπειδὴ πάνθ' ὑπεθήκατο δῖα θεάων,
Βὰν ῥ' ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων.
Ἔνθα δὲ ναιετάουσι παραὶ Διῒ τερπικεραύνῳ
Σεμναί τ' αἰδοῖαί τε. Μέγ' ὄλβιος, ὅν τιν' ἐκεῖναι
Προφρονέως φιλῶνται ἐπιχθονίων ἀνθρώπων.
Αἶψα δέ οἱ πέμπουσιν ἐφέστιον ἐς μέγα δῶμα

Πλοῦ-

ad Euripid. Hippol. 25. laudarunt, vix modum tenent in initiatorum felicitate praedicanda. Poëtae nostri locum, nescio, an ob oculos habuerit Sophocles apud Plutarch. de aud. poët. p. 27. ὡς τριτόλβιοι Κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη, Μόλουσ' ἐς ᾅδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ Ζῆν ἐστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά. Notanda etiam proprietas verbi ὄπωπεν, pro ἐπόπτης factus est.

460. Ὃς δ' ἀτελὴς] Ex multis locis, quae Meursius Eleusin. cap. 18 & Casaubonus Exerc. XVI. adv. Baron. p. 546. congesserunt, satis sit, unum simillimum Platonis Phaedon. p. 380. F. afferre: ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς ᾅδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται· ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος, ἐκεῖσε ἀφικόμενος, μετὰ θεῶν οἰκήσει.

463. Βὰν ῥ' ἴμεν Οὔλυμπόνδε] Il. Υ. 142. Ἂψ ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων.

465. Μέγ' ὄλβιος] Homericus Hymn. XXVIII. in Matrem omnium: ὁ δ' ὄλβιος, ὅν κε σὺ θυμῷ Πρόφρων τιμήσεις. Pro φιλῶνται Valckenarius malit φιλέωνται.

Πλῦτον, ὃς ἀνθρώποις ἄφενος θνητοῖσι δίδωσιν.
Ἀλλά γ', Ἐλευσῖνος θυοέσσης δῆμον ἔχουσαι,
Καὶ Πάρον ἀμφιρύτην, Ἄντρωνά τε πετρήεντα,
Πότνια, ἀγλαόδωρ', ὡρηφόρε, Δηοῖ ἄνασσα,
Αὐτὴ, καὶ κούρη περικαλλὴς Περσεφόνεια,
Πρόφρονες ἀντ' ᾠδῆς βίοτον θυμήρε' ὄπαζε.

Αὐ-

468. Πλοῦτον] Plutum Hesiodus Theog. 969. Cereris filium dicit. Quo respiciunt Cornutus de N. D. 28. p. 211. & Themistius Or. XXX. p. 351.

Ibid. Ὃς ἀνθρώποις ἄφενος] De eodem Pluto Hesiodus l. c. τῷ δὲ τυχόντι, καὶ οὗ κ' ἐς χεῖρας ἵκηται, Τὸν δ' ἀφνειὸν ἔθηκε, πολύν τέ οἱ ὤπασεν ὄλβον.

470. Πάρον ἀμφιρύτην] Parus olim Cereri sacra fuit. Unde & Δημητριὰς appellata est, & Κάβαρνις, ἀπὸ Καβάρνου τοῦ μηνύσαντος τὴν ἁρπαγὴν τῇ Δήμητρι τῆς θυγατρὸς, teste Stephano Byz. v. Πάρος. Cabarni posteros Ceres sacrorum suorum antistites constituit. Antimachus apud Suid. v. Ὀργεῶνες· Γέννην Καβάρνου θῆκεν ἀγακλέας ὀργεῶνας. de quo loco vide Valesium ad Harpocrat. p. 315. Hesychius: Κάβαρνοι. οἱ τῆς Δήμητρος ἱερεῖς, ὡς Πάριοι. A Pariis Cereris religio venit ad Thasios, eorum colonos. Qua de caussa Dionys. Perieg. 523. Thasum vocat Δημήτερος ἀκτήν. De ejusdem cultu apud Antronios nihil reperi apud alios.

473. Πρόφρονες ἀντ' ᾠδῆς &c.] His duobus postremis versibus etiam clauditur Homericus Hymnus XXVIII. in Matrem omnium. Sed ibi πρόφρων est, quod preces ad unam duntaxat Deam fiunt. Hic contra est pluralis nominum femininorum cum verbo singulari ὄπαζε. Quod constructionis genus, a Boeotiis & Pindaro frequentatum, veteres Gram-

 ma-

Αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

matici Boeotium, Thebanum, Pindaricum appellarunt. Vide Lesbonactem de Schem. p. 184. & Apollon. Alexandr. de Syntax. III. p. 223. quorum hic tale Pindari exemplum ponit: Ἀχεῖται ὀμφαὶ μελέων σὺ αὐλοῖς. quod Fr. Portus ita scribi vult: Ἀχεῖτε ὀμφὰ μελέων &c. At syntaxis, sic si legatur, nihil Boeotium aut singulare habet, quia σὺν pro καὶ accipitur, ut *cum* pro & apud Latinos. Livius XXI. 60. *dux cum aliquot principibus capiuntur.* ubi vide Gronovium. Igitur, ut Boeotismus in hoc exemplo appareat, scribendum: Ἀχείτω ὀμφαὶ μελέων σὺν αὐλοῖς. Quam formam, quis miretur, in vulgarem mutatam esse a librariis Dionysii Hal. περὶ Συνθέσ. p. 23. Ὑμνεῖτε ὀμφᾷ μελέων σὺν αὐλοῖς. Idem Pindarus Olymp. VIII. 10. Ἄννεται δὲ πρὸς χάριν εὐσεβέων ἀνδρῶν λιταί. Haec est Asclepiadis lectio, quam libri scripti confirmant. Item Olymp. XI. 5. μελιγάρυες ὕμνοι Ὑστέρων ἀρχαὶ λόγων τέλλεται. ubi Scholiastes, neminem neque ante, neque post Pindarum, sic locutum esse contendens, vehementer errat. Homerus Il. P. 387. Χεῖρές τ', ὀφθαλμοί τε, παλάσσετο μαρναμένοιιν. ubi ab Eustathio p. 1110. haec annotantur: Ὅρα, ὡς ἐπήγαγε τοῖς τῶν διαφόρων γενῶν πληθυντικοῖς ὀνόμασι τὸ παλάσσετο ῥῆμα ἑνικόν. καὶ φασὶ Πινδαρικὸν τὸ σχῆμα οἱ παλαιοί· οὐχ ὅτι Πίνδαρος εὗρεν αὐτὸ, τῆς γὰρ Ὁμήρου μεταλλείας καὶ τοῦτο ἐκεῖνος ἐκέρδανεν, ἀλλ' ὅτι διαδεξάμενος καὶ ζηλώσας, κατεχρήσατο. Manetho IV. 333. Μαρμαρυγῇ δ' ἀκτῖνες ἅταν σελατηφόρου Ἑρμοῦ Ἀμφὶ σεληναίῃ σκολιὸν λαβύρινθον ὀρίνῃ. quam structuram aliis ejusdem exemplis defendit Dorvillius ad Charit. p. 750. Vel sic tamen vs. 469. ἔχουσα, & vs. 473. πρόφρων legere malim, ut omnia ad unam Cererem referantur, versus autem 472. Αὐτὴ, καὶ κούρη &c. in parenthesi accipiatur.

FRAG-

FRAGMENTUM HYMNI IN BACCHUM.

Καί οἱ ἀναστήσουσιν ἀγάλματα πολλ' ἐνὶ νηοῖς.
Ὡς δὲ τὰ μὲν τρία σοι πάντως τριετήρισιν αἰεὶ

Ἄγ-

FRAGMENTUM] Hoc Fragmentum in Cod. Moscov. Hymno in Cererem praemittitur. Ex deperdita ejusdem Hymni parte novem verſus valde luculentos conſervavit Diodorus Siculus, Homero Hymnum diſerte tribuens, I. 15. p. 19. III. 65. p. 235. IV. 2. p. 248. Οἱ μὲν γὰρ Δρακάνῳ σ', οἱ δ' Ἰκάρῳ ἠνεμοέσσῃ Φασὶν, οἱ δ' ἐν Νάξῳ, δῖον γένος, εἰραφιῶτα, Οἱ δέ σ' ἐπ' Ἀλφειῷ ποταμῷ βαθυδινήεντι Κυσαμένην Σεμέλην τεκέειν Διῒ τερπικεραύνῳ. Ἄλλοι δ' ἐν Θήβαισιν, ἄναξ, σὲ λέγουσι γενέσθαι, Ψευδόμενοι. σὲ δ' ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε, Πολλὸν ἀπ' ἀνθρώπων κρύπτων λευκώλενον Ἥρην. Ἔστι δέ τις Νύσση ὕπατον ὄρος, ἀνθέον ὕλῃ, Τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων. Verſu 1. quis non ſtatim agnoſcat imitationem Callimachi H. in Jov. 6. Ζεῦ, σὲ μὲν Ἰδαίοισιν ἐν οὔρεσι φασὶ γενέσθαι, Ζεῦ, σὲ δ' ἐν Ἀρκαδίῃ· πότεροι, πάτερ, ἐψεύσαντο; Verſum 4. demum e libris MSS. addidit Weſſelingius, recepitque, ſed alieno loco, Cl. Erneſtus in Homeri Fragm. p. 135. Vſ. 8. eſt varietas lectionis. Nam pro ὕπατον ὄρος, quod Diodorus tribus locis conſtanter ſervat, Scholiaſtes ad Apollon. Rhod. II. 1215. legit ὕπατον κέρας. Sed alteram lectionem ſequar ob rationes a Weſſelingio allatas.

Ἄνθρωποι ῥέξουσι τελήεσσας ἑκατόμβας.
Ἦ, καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων.
Ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος
Κρατὸς ἀπ᾽ ἀθανάτοιο· μέγαν δ᾽ ἐλέλιξεν Ὄλυμπον.
Ὣς εἰπὼν, ἐκέλευσε καρήατι μητίετα Ζεύς.
Ἵλαθ᾽, εἰραφιῶτα, γυναιμανές. Οἱ δέ σ᾽ ἀοιδοὶ
Ἄιδομεν ἀρχόμενοι, λήγοντές τ᾽. οὐδέ πῃ ἐστὶ
Σεῖ᾽ ἐπιληθόμενον ἱερῆς μεμνῆσθαι ἀοιδῆς.

Καὶ

4. Ἦ, καὶ κυανέῃσιν] Hi tres nobilissimi versus etiam reperiuntur Il. A. 528. quorum unum sic imitatus est Apollon. Rhod. II. 679. χρύσεοι δὲ παρειάων ἑκάτερθε Πλοχμοὶ βοτρυόεντες ἐπεῤῥώοντο κιόντι.

7. Ἐκέλευσε καρήατι] Lege: ἐπένευσε καρήατι. ut H. in Cer. 169. 445.

9. Ἄιδομεν ἀρχόμενοι, λήγοντές τ᾽] Il. I. 97. Ἐν σοὶ μὲν λήξω, σέο δ᾽ ἄρξομαι. quod laudat Philo Jud. T. I. p. 499. & praeter alios imitatur Virgil. Ecl. VIII. 11. ubi vide F. Ursinum. Hesiodus apud Eustath. ad Il. Σ. p. 1163. Πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε, χόροις τε. Ἀρχόμενοι δὲ Λίνον, καὶ λήγοντες καλέουσιν. Sic corrige versus, quos depravavit Simsonus Chronic. ad A. M. 2499. Ceterum hic locus confirmat scripturam vexatissimi versus apud Hesiodum Theog. 48. Ἀρχόμεναί θ᾽ ὑμνεῦσι θεαὶ, λήγουσαί τ᾽ ἀοιδῆς. ubi ἀοιδῆς a veteribus pronunciabatur ᾠδῆς, ut deinceps etiam scribi coepit. De talibus saepe ad Homerum monuit Clarkius. Vide ad H. in Cerer. vs. 404.

10. Σεῖ᾽ ἐπιληθόμενον] MS. ἐπιλαθόμενοι; quod correxi ex altero Homerico Hymno in Bacchum vs. 58. Χαῖρε,

τί-

Καὶ σὺ μὲν ὅτω χαῖρε, Διώνυσ' εἰραφιῶτα,

Σὺν μητρὶ Σεμέλῃ, ἥν περ καλέουσι Θυώνην.

τέκος Σεμέλης εὐώπιδος· οὐδέ πη ἐστὶ Σεῖό γε ληθόμενον, γλυκερὴν κοσμῆσαι ἀοιδήν. Obiter emendemus Orpheum apud Scholiast. Apoll. Rhod. III. 1. Οὐδέ τι λήγονται Μουσῶν βροτοί· αἱ γὰρ ἔασι Κοίρανοι, αἷσι μέμηλε χορὸς θαλίαι τ' ἐραταιναί. Lege: Οὐδέ τι λήθονται Μουσῶν βροτοί.

12. Θυώνην] Vide Cl. Valckenarium Diatrib. in Euripid. XV. p. 154.



m